**122** Stob. 4. 46. 10 (cod. S) + P. Oxy. 2313 fr. 1 (*a*)

⊗ "χρημάτων ἄελπτον οὐδέν ἐστιν οὐδ' ἀπώμοτον
οὐδὲ θαυμάσιον, ἐπειδὴ Ζεὺς πατὴρ 'Ολυμπίων
ἐκ μεσαμβρίης ἔθηκε νύκτ', ἀποκρύψας φάος
ἡλίου †λάμποντος, λυγρὸν† δ' ἦλθ' ἐπ' ἀνθρώπους δέος.
ἐκ δὲ τοῦ καὶ πιστὰ πάντα κἀπίελπτα γίνεται
ἀνδράσιν· μηδεὶς ἔθ' ὑμέων εἰσορέων θαυμαζέτω
μηδ' ἐὰν δελφῖσι θῆρες ἀνταμείψωνται νομὸν
ἐνάλιον, καί σφιν θαλάσσης ἠχέεντα κύματα
φίλτερ' ἠπείρου γένηται, τοῖσι δ' ὑλέειν ὄρος.
'Αρ]χηνακτίδης
]ητου πάϊς[
]τυθη γάμωι[

(fragmenta versuum v)

Arist. *Rhet.* Γ 17 p. 1418b28 (plenius dedi ad fr. 19) ποιεῖ γὰρ τ ὸ ν π α τ έ ρ α λ έ γ ο ν τ α π ε ρ ὶ τ ῆ ς θ υ γ α τ ρ ὸ ς ἐν τῷ ἰάμβῳ "χρημάτων—ἀπώμοτον".

**124** Ath. (epit.) 7f ὅτι περὶ Περικλέους φησὶν 'Αρχίλοχος ὁ Πάριος ποιητὴς ὡς ἀκλήτου ἐπεισπαίοντος εἰς τὰ συμπόσια

**(a)** Μυκονίων δίκην . . .

**(b)** πολλὸν δὲ πίνων καὶ χαλίκρητον μέθυ,
οὔτε τῖμον εἰσενείκας ⟨— ◡ — × — ◡ —⟩
οὐδὲ μὲν κληθεὶς ⟨◡ — ×⟩ ἦλθες οἷα δὴ φίλος,



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415736544/59 UNIVERSITÄT LEIPZIG